ἐμῆ[ϲ]. ὁ πατὴρ ἀλλότριοϲ εἶναι βούλεται
αὐτῆϲ πρὸϲ ἡμᾶϲ· μὴ τὸ τούτου δύϲκολον
μιμώμεθ' ἡμεῖϲ· ἂν γὰρ αἰϲχύνηι τινὶ
αὕτη] περιπέϲηι, τοῦτο κἀμοὶ γίνεται
ὄνειδο]ϲ. ὁ γὰρ ἔξωθεν οὐ τὸν αἴτιον
ὅϲτιϲ] πότ' ἐϲτιν οἶδεν, ἀλλὰ τὸ γεγονόϲ.
]ν̣.
(Δα.) ὦ τᾶν, τὸν γέροντα, Γοργία,
δέδοικ'· ἐ]ὰν γὰρ τῆι θύραι προϲιόντα με
λάβηι, κρ]εμᾶι παραχρῆμα.
Γο. δυϲχρήϲτωϲ γέ πωϲ
ζυ]γομαχῶν τοῦτον οὔθ' ὅτωι τρόπωι
ἀναγκάϲαι τιϲ εἰϲ τὸ βέλτι[ον ......]ν
οὔτ' ἂν μεταπεῖϲαι νουθετῶν ο[.......]ϲ
ἀλλ' ἐμποδὼν τῶι μὲν βιάϲαϲθαι τὸν νόμον
ἔχει μεθ' αὑτοῦ, τῶι δὲ πεῖϲαι τὸν τρόπον.
Δα. μικρὸν δ' ἐπίϲχεϲ· οὐ μάτην γὰρ ἥκομεν,
ἀλλ' ὥϲπερ εἶπον ἔρχετ' ἀνακάμψαϲ πάλιν.
Γο. ὁ τὴν χλανίδ' ἔχων; οὗτοϲ ἐϲτὶν ὃν λέγειϲ;
(Δα.) οὗτοϲ.
(Γο.) κακοῦργοϲ εὐθὺϲ ἀπὸ τοῦ βλέμματοϲ.

Ϲω. τὸν μὲν Γέταν οὐκ ἔνδον ὄντα κατέλαβον,
μέλλουϲα δ' ἡ μήτηρ θεῶι θύειν τινί—
οὐκ οἶδ' ὅτωι—ποιεῖ δὲ τοῦθ' ὁϲημέραι,
περιέρχεται θύουϲα τὸν δῆμον κύκλωι